ἀκμὴν γὰρ ἡ τῶν διδασκάλων ἅμιλλα καὶ φιλονεικία σφο- E
δροτέραν ἔλαβεν ἐν ταῖς κύλιξι γενομένων· ἤδη δὲ καὶ
προτάσεις καὶ προκλήσεις ἦσαν ἄκριτοι καὶ ἄτακτοι.

2. Διὸ πρῶτον μὲν ἐκέλευσεν ᾆσαι τὸν Ἐράτωνα πρὸς τὴν λύραν· ᾄσαντος δὲ τὰ πρῶτα τῶν Ἔργων (Hes. OD 11) 'οὐκ ἄρα μοῦνον ἔην Ἐρίδων γένος', ἐπῄνεσεν ὡς τῷ καιρῷ πρεπόντως ἁρμοσάμενον· ἔπειτα περὶ στίχων εὐκαιρίας ἐνέβαλεν λόγον, ὡς μὴ μόνον χάριν ἀλλὰ καὶ χρείαν ἔστιν ὅτε μεγάλην ἐχούσης. καὶ ὁ μὲν ῥαψῳδὸς εὐθὺς ἦν διὰ στόματος πᾶσιν, ἐν τοῖς Πτολεμαίου γάμοις ἀγομένου
τὴν ἀδελφὴν καὶ πρᾶγμα δρᾶν ἀλλόκοτον ⟨νομιζ⟩ομένου F
καὶ ἄθεσμον ἀρξάμενος ἀπὸ τῶν ἐπῶν ἐκείνων (Σ 356)

'Ζεὺς δ' Ἥρην ἐκάλεσσε κασιγνήτην ἄλοχόν τε·'

καὶ ὁ παρὰ Δημητρίῳ τῷ βασιλεῖ ἀπρόθυμος ὢν ᾄδειν μετὰ τὸ δεῖπνον, ὡς δὲ προσέπεμψεν αὐτῷ τὸν υἱὸν ἔτι παιδάριον ὄντα τὸν Φίλιππον, ἐπιβαλὼν εὐθύς

'τὸν παῖδά μοι τόνδ' ἀξίως Ἡρακλέους
ἡμῶν τε θρέψαι' | (Trag. adesp. 399)·

καὶ Ἀνάξαρχος ὑπ' Ἀλεξάνδρου μήλοις βαλλόμενος παρὰ 737
δεῖπνον ἐπαναστὰς καὶ εἰπών (Eur. Or. 271)

'βεβλήσεταί τις θεῶν βροτησίᾳ χερί.'

πάντων δ' ἄριστος Κορίνθιος παῖς αἰχμάλωτος, ὅθ' ἡ πόλις ἀπώλετο καὶ Μόμμιος ἐκ τῶν ἐλευθέρων τοὺς